οὖν καὶ αὐτὴ πρὸς ἑαυτὴν ἡ ψυχή, ἀλλὰ κατὰ μικρόν. καὶ λοιπὸν πρὸς τὴν οἰκείαν ἀξίαν δέχεται πάλιν ἐνταῦθα ὄργανον, πρός τε τὴν προγεγενημένην αὐτῶν πολιτείαν τοῖα ἢ τοῖα, οἷον λελωβημένα ἢ πηρὰ ἢ ἕτερα δέχονται ὄργανα· δεῖ τοίνυν εἰδέναι καὶ τοῦτο, ὅτι ἐξῆπται τῆς ψυχῆς πνευματικὸς χιτὼν καὶ κολάζεται μὲν καὶ οὗτος ἢ θερμαινόμενος ἄγαν ἢ ψυχόμενος· ἔστιν δὲ εἰπεῖν, ὅτι καὶ φαντάζονται τοιαῦτά τινα καὶ ἐκδειματοῦνται, ὥς φησι καὶ ὁ τραγικὸς τὰς αἱματωποὺς κόρας καὶ τὰ τοιαῦτα· κἀκεῖνο δὲ γίνωσκε, ὅτι οὐ μόνον ἐκεῖ κολάζονται αἱ ὀφείλουσαι καθαρθῆναι, ἀλλὰ καὶ ἐνταῦθα, καὶ
4 ἔστιν ὅτε ἐνταῦθα καθαίρονται ἐκεῖσε μὴ καθαρθεῖσαι. δεῖ γὰρ εἰδέναι, ὅτι ἡ κόλασις σωφρονεστέραν αὐτὴν ποιεῖ καὶ ἐπιτηδειοτέραν αὐτὴν ἐργάζεται εἰς τὸ καθαρθῆναι· ἐπεὶ οὐδὲν αὐτὴν καθαίρει, εἰ μὴ ἡ ἐπίγνωσις ἡ πρὸς ἑαυτὴν ἥ τις δι' ἀρετῆς κατορθοῦται· διὰ γὰρ τοῦτο καὶ ἀρετὴ λέγεται αἱρετή τις οὖσα καὶ ληπτὴ δι' ἑαυτήν· μὴ οὖν νόμιζε, ὅτι κολάσεις αὐτὴν καθαίρουσιν· εἰ γὰρ κολάζοιτο μέν, μὴ ἐπιστρέφοι δέ, οὐ κεκάθαρται· ὅτ' ἂν οὖν νήψῃ καὶ ἐπιστρέψῃ ὡς αὐτοκίνητος, τότε καθαίρεται, ἐπεὶ καὶ ἰατρὸς καθαίρει μοχθηρὸν σῶμα, καὶ οὐκ ἀρκεῖται τῇ καθάρσει, ἀλλὰ ὁ κάμνων λοιπὸν αἴτιος γίνεται ὑγιείας φυλάττων ἑαυτὸν καὶ μὴ πάλιν ἀτακτῶν καὶ πλημμελῶν κατὰ τὴν ἄχρηστον τροφήν· καὶ ὥσπερ πάλιν ὁ ἀπὸ ὑγιείας ἐπὶ νόσον ἐρχόμενος ἐπιλανθάνεταί τινων, ὧν ἐν τῇ ὑγιείᾳ ἐποίησεν, βαδίζων δὲ ἐπὶ ὑγίειαν πάλιν μέμνηται· οὕτως καὶ ἡ ψυχὴ ἐρχομένη ἐνταῦθα ἐπιλανθάνεται τῶν ἐκεῖσε κολάσεων καὶ οὕτως ἁμαρτάνει· εἰ γὰρ ἀεὶ συναίσθησιν εἶχεν, οὐκ ἂν ἡμάρτανεν· δεῖ τοίνυν εἰδέναι, ὅτι ἐπ' ἀγαθῷ δέδοται αὐτῇ τὸ ἐπιλανθάνεσθαι· εἰ γὰρ ἐμέμνητο καὶ

---

9 Eurip. Orest. 246

---

4 mg. ση. ὅτι καὶ αἰσθητὴν τὴν κόλασιν λέγει διὰ τοὺς ἐξημμένους τῶν ψυχῶν πνευματικοὺς χιτῶνας  13 mg. ὅτι ἡ κάθαρσις τῆς ψυχῆς διὰ τῆς ἑαυτῆς γνώσεως, οὐ διὰ κολάσεως, δι' ἧς ἡ πρὸς κάθαρσίν ἐστιν ἐπιτηδειότης αὐτῇ καὶ μόνον  22 mg. ση.

---

8 ἐκδειματοῦνται ς ἐκδηματοῦνται M  23 ὑγιείας] -ι- supra lin. add. M[c]  24 ὑγιείᾳ] -ι supr. lin. add. M[c]